Σύστημα Α κώλων γ.

Ευ. Πάνυ γε μέλη θαυμαστὰ δείξει δὴ τάχα.
Εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.
Δι. Καὶ μὴν λογιοῦμαι ταῦτα, τῶν ψήφων λαβών.

Ευ. *Miranda certè carmina monstrabit tibi:*
*Nam ego in vnum contraham omnia eius carmina.*
BA. *At ego rationem inibo sumptis calculis.*

Σχόλ. Εἰς ἓν γὰρ αὐτοῦ πάντα.] εἰς τὸ αὐτὸ τέλος περατούμενα πάντα. ἐπεὶ κἀκεῖνος εἶπεν, ἀπολήκυθιῶ σου τοὺς προλόγους. οἷον ἀποφθερῶ. Καὶ μὴν λογιοῦμαι.] ἀπαριθμήσω. ψηφίσω. ἐπεὶ προεῖπεν Εὐριπίδης εἰς ἓν συγκεφα- B λαιώσομαι αὐτοῦ πάντα τὰ μέλη. Ερατοσθένης δὲ, τῶν ψευδαττικῶν τινὰς γράφειν, τῶν ψήφων λαβών, ἵνα καὶ τὰ πεπλασμένα δράματα, ἐν οἷς τὸ παράπαν τοῦτο ἠγνόηται, δοκῇ μὴ σεσολοικίσθαι.

Ωδὴ κώλων έ.

Ευ. Φθιῶτ' Αχιλλεῦ, τί ποτ' ἀνδροδαΐκτων ἀκούων,
C Ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον
Τίομεν γένος οἱ περὶ λίμναν,
Ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

Ευ. *Phthiota Achilles: vbi Lethiferū quid inaudis:*
*Cur non adhibes bona fulcra labori?*
*Patrem Mercurium*
*Istius colit accola ripæ.*
*Tu non adhibes bona fulcra labori.*

Σχόλια. Φθιῶτ' Αχιλλεῦ.] τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς Αχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει δὲ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ ἀσαφῆ μίαν ἁρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητητέον. ἀνδροδαΐκτον δὲ D τὴν ἀνδρῶν φόνον ποιοῦσαν. τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα ὡς Ηφαιστίων φησίν. ὅτι πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκειμένην ἀπόκρισιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικὰ, έ. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται Αἰολικόν. διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δεύτερον καὶ τὸ έ δίμετρα ὑπερκατάληκτα. τὸ γ πενθημιμερές. τὸ δὲ ἑφθημιμερὲς ὃ καλεῖται ὡς εἴρηται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τοῦ δὲ συστήματος τὰ κῶλα ὅμοια έ, πλὴν τοῦ τετάρτου τῷ δευτέρῳ τῆς ᾠδῆς ὁμοίου, ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ β ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γ καὶ τὸ ς ὡς τὸ β τῆς ἄνω ᾠδῆς. τὸ τέταρτον δακτυλικὸν τετράμετρον. ἔστι δὲ τὸ κῶλον ἐκ χοροῦ ὡς ἀνέγνων ἐν Αγαμέμνονι δράματι Αἰσχύλου. τὸ έ ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν αἴσιον ἀνδρῶν. ἐκ τελέων. ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέν τοι ἕκτος στίχος ἔν τισιν οὐ κεῖται. οἷον ἴθι δὴ πέραινε. Ερμᾶν μὲν πρόγονον.] ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν. προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ. ἀλλ' ὡς ἔτυχεν ἄλλο E ἄλλοθεν. καὶ ἐπιλέγει τὸ ἰὴ κόπον κυρίως ἐκείνων τῶν στίχων ὂν τοῦ Φθιῶτ' Αχιλλεῦ.

Σύστημα κώλων έ.

Δι. Δύο σοι κόπω Αἰσχύλε τούτω.
Ευ. Κύδιστ' Αχαιῶν, Ατρέως
Πολυκοίρανε μάνθανέ μου παῖ.
Ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
F Δι. Τρίτος Αἰσχύλε σοι κόπος οὗτος.

BA. *Duo sunt tibi nempe labores.*
Ευ. *Præclare Achiuorum, Atrei*
*Domine, hæc mea percipe, fili,*
*Tu non adhibes bona fulcra labori.*
BA. *Labor, Æschyle, tertius hic est.*

Σχόλια. Κύδιστ' Αχαιῶν.] Αρίσταρχος καὶ Απολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου. Ασκληπιάδης δὲ ἐξ Ιφιγενείας.

Ωδὴ κώλων ς'.

Ευ. Εὐφαμεῖτε μελισσονόμοι
G Δόμον Αρτέμιδος πέλας οἴγειν,
Ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
Κύριός εἰμι θροεῖν ὅσιον κράτος
Αἴσιον ἀνδρῶν.
Ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

Ευ. *Huc mellarij adeste bonis*
*Animis, aperite Dianæ.*
*Tu non adhibes bona fulcra labori.*
*Possum ego destruere imperia auspice*
*Condita fato.*
*Tu non adhibes bona fulcra labori.*

Σχόλια. Εὐφαμεῖτε μελισσονόμοι.] οἱ διανέμοντες τὰ τῆς πόλεως. ἢ οἰκοῦντες ἐν τῇ πόλει. Ἰὴ κόπον.] τινὲς ἀξιοῦσι τὸ ἰὴ ψιλοῦν. ὅταν μὴ ἦ ἐν ὕμνῳ. ἐκεῖ γὰρ δασύνεται. ὡς ἐφυμνίῳ δὲ κέχρηται ἰὴ κόπον οὐ πελάθεις. Οσιον